UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN

# Epistolai tu hagiu Isidōru tu Pēlusiōtu

**Isidorus <Pelusiota>**

**Parisiis, 1585**

Eidem. 452.

urn:nbn:de:hbz:466:1-71898

Visual Library

### Λεοντίῳ ἐπισκόπῳ. υνα.

Οὐ χρή, θαυμάσιε, ἀεὶ τοῖς ἀνέμοις ὑπείκειν, ἀλλ' ἔστιν ὅτε καὶ ἀντίπρωρον ταῖς, καταιγίσιν ἀνθίστασθαι, καὶ τὰς ἐμβολὰς τῶν πνευμάτων ἐκκρούεσθαι, μήποτε μεγαλυνόμεναι αἱ λαίλαπες, καὶ τῶν οἰάκων ἡμᾶς ἐκτινάξωσι, καὶ μερισμὸν τοῦ σκάφους ἐργάσωνται πολυσκέδαστον. ἀνθίστασο τοίνυν τῷ νῦν ταράσσοντι κλύδωνι, εἰ καὶ τῇ κακοτέχνῳ πρᾳότητι, ὡς πρὸς λιμένα τὴν ἑαυτοῦ προκαλεῖται (προσκ.) κακόνοιαν, μήποτε ὡς ἐγκρατὴς τῆς νηὸς, καὶ τοῦ φόρτου σου γένηται, καὶ εἰς δύσορμον ἀκτὴν ἐξωθήσησεν (ἐξωθήσειεν.), ἀφ' ἧς ναυάγιον οἱ ἁλόντες ὑφίστανται.

### Τῷ αὐτῷ. υνβ.

Γενέσθω εἰρήνη ἐν ταῖς ἡμέραις μου, ὁ θεοφιλέστατος ἔλεγεν Ἐζεκίας, οὐκ ἐνδιδοὺς τοῖς πολέμοις (πολεμίοις.), οὐκ ἀφεστὼς τῆς πρεσβείας, ἀλλὰ τὴν μὲν θεῷ προσῆγεν ἱκέτιν, τοῖς δὲ ἐκεῖθεν τὴν ἧτταν ἐζήτει, αὐτοῖς δηλῶν τοῖς κατορθώμασιν, ὡς φίλην κτησάμενος τὴν εἰρήνην, μέχρι παντὸς ἔχειν αὐτὴν ἠ[illegible]βόλει, ὅθεν ἀγγέλου χειρὶ τὴν νίκην εἰργάσατο. εἰς βέλη μὲν οὐ χωρῶν (οὐχ ὁρῶν.), οὐδὲ εἰς κύρσεις (πύρσεις.) πονῶν, εἰς δεήσεις δὲ καὶ λιτὰς τὰς πρὸς θεὸν ἀγρυπνῶν.

### Θεοδοσίῳ. υνγ.

Ἡ μὲν θεία φύσις ἀκατονόμαστος. ὄνομα δὲ ἐζήτει Ἰακὼβ τοῦ παλαίοντος, καὶ ἰσχύειν αὐτὸν κατὰ τῶν παθῶν ἐκδιδάσκοντος, διὰ τῆς τοῦ νεύρου τοῦ μηροῦ ψηλαφήσεως. ἀλλ' ἵνα τί ἐρωτᾷς τὸ ὄνομά μου. ἀκούει, οὐ τοῦ νόμου εἶναι, οὐδὲ τῶν πρὸ τοῦ νόμου τοῦτο μαθεῖν ἐκπαιδεύοντος. ὀψὲ δὲ καιροῦ, ὅτε ἐλεύσεται τῶν χρόνων τὸ πλήρωμα, καὶ πληθυνθῶσι τῶν ἀνθρώπων τὰ πλημμελήματα, Ἰησοῦς ἐνανθρωπήσας κληθήσομαι, ὅπερ σωτὴρ ἑρμηνεύεται.

### *Leontio Epiſcopo.* 451.

Ventis haud ſemper cedere oportet, vir eximie: verùm nonnunquam etiam obiecta in contrarium prora fluctibus & procellis obluctari, ac ventorum impetum propulſare: ne alioqui turbines ingraueſcentes, tum nos à gubernaculis deiiciant, tum nauim in multas partes frangant. Quamobrem graſſanti nunc tempeſtati obſiſte (etiamſi veteratoria & malis artibus ſimulata lenitate te ad peruerſam ſuã ſententiam tanquam ad portum quendam, allicit:) ne, ſi naue atque onere tuo potiatur, in importuoſum littus, ex quo, iis, qui capti fuerint, naufragium ſubeundum ſit, te eiiciat.

### *Eidem.* 452.

Sit pax in diebus meis, dicebat Deo chariſſimus Ezechias: non quòd hoſtibus cederet, aut à precatione abſiſteret: verùm hanc quidem ſupplicem ad Deum adhiberet, hoſtibus autem hac ratione cladẽ quæreret: per ipſas nimirùm res præclarè ac feliciter geſtas illud declarans, quòd cùm amicam pacem adeptus eſſet, eam ad extremum vſque habere ſupplicibus verbis poſtulabat. Vnde etiam Angeli manu victoriam conſecutus eſt, non ad prælium & tela proficiſcens, verùm ad diuinas preces & ſupplicationes excubans.

4.Re.20.

4.Re.19.

### *Theodoſio.* 453.

Diuinæ quidem naturæ nullum nomen imponi poteſt. Iacob autem, eius, qui cum ipſo luctabatur, ac per nerui fœmoris contrectationem eum vitioſos affectus ſuperare ac frangere docebat, nomen exquirebat. At, Quid quæris nomen meum? (edocentem eum audit) quod nec legis eſt, nec eorum, quorum ætas legem anteceſſit, cognoſcere: verùm ſero tempore, cùm temporum plenitudo venerit, atque hominũ ſcelera magnopere aucta fuerint, Ieſus incarnatus nuncupabor, quod quidem ſer-

Gene. 32.